γε ἐξαπατηθείητε ὑπὸ τούτων καὶ δημεύσαιθ' ἡμῶν τὴν
οὐσίαν, οὐδὲ δύο τάλαντα λάβοιτ' ἄν. ὥστε οὐ μόνον
πρὸς δόξαν ἀλλὰ καὶ εἰς χρημάτων λόγον λυσιτελεῖ μᾶλ-
λον ὑμῖν ἀποψηφίσασθαι· πολὺ γὰρ πλείω ὠφεληθήσεσθ',
62 ἐὰν ἡμεῖς ἔχωμεν. σκοπεῖτε δὲ ἐκ τοῦ παρεληλυθότος
χρόνου, ὅσα φαίνεται ἀνηλωμένα εἰς τὴν πόλιν· καὶ νῦν
ἀπὸ τῶν ὑπολοίπων τριηραρχῶ μὲν ἐγώ, τριηραρχῶν δὲ
ὁ πατὴρ ἀπέθανεν, πειράσομαι δ', ὥσπερ καὶ ἐκεῖνον
ἑώρων, ὀλίγα κατὰ μικρὸν παρασκευάσασθαι εἰς τὰς
κοινὰς ὠφελείας· ὥστε τῷ γ' ἔργῳ πάλαι ⟨τῆς πόλεως⟩
ταῦτ' ἐστι, καὶ οὐκ ἐγὼ ἀφῃρημένος ἀδικεῖσθαι οἰήσο-
μαι, ὑμῖν δὲ πλείους οὕτως αἱ ὠφέλειαι ἢ εἰ δημεύσαιτε.
63 πρὸς δὲ τούτοις ἄξιον ἐνθυμηθῆναι οἵαν φύσιν εἶχεν ὁ
πατήρ. ὅσα γὰρ ἔξω τῶν ἀναγκαίων ἐπεθύμησεν ἀναλί-
σκειν πάντα φανήσεται τοιαῦτα ὅθεν καὶ τῇ πόλει τιμὴ
ἔμελλεν ἔσεσθαι. αὐτίκα ὅτε ἵππευεν, οὐ μόνον ἵππους
ἐκτήσατο λαμπροὺς ἀλλὰ καὶ ἀθληταῖς ἐνίκησεν Ἰσθμοῖ
καὶ Νεμέᾳ, ὥστε τὴν πόλιν κηρυχθῆναι καὶ αὐτὸν στε-
64 φανωθῆναι. δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες δικασταί, καὶ
τούτων καὶ τῶν ἄλλων μεμνημένους ἁπάντων τῶν εἰρη-
μένων βοηθεῖν ἡμῖν καὶ μὴ περιιδεῖν ὑπὸ τῶν ἐχθρῶν
ἀναιρεθέντας. καὶ ταῦτα ποιοῦντες τά τε δίκαια ψηφι-
εῖσθε καὶ ὑμῖν αὐτοῖς τὰ συμφέροντα.

20.

## | ΥΠΕΡ ΠΟΛΥΣΤΡΑΤΟΥ.

1 Οὔ μοι δοκεῖ χρῆναι ὀργίζεσθαι ὑμᾶς τῷ ὀνόματι τῷ
τῶν τετρακοσίων, ἀλλὰ τοῖς ἔργοις ἐνίων. οἱ μὲν γὰρ
ἐπιβουλεύσαντες [ἦσαν] αὐτῶν, οἱ δ' ἵνα μήτε τὴν πό-
λιν μηδὲν κακὸν ἐργάσαιντο μήθ' ὑμῶν μηδένα, ἀλλ'